Ακαδημία Αθηνών / Academy of Athens

λάδα *π ᾶ σ α ν ἐφίξεται* Παρμενίδης 8.5-22-24-25-48-60 *οὐδέ ποτ' ἦν οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ π ᾶ ν, ἕν, συνεχὲς ... οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ π ᾶ ν ἐστιν ὁμοῖον ... οὐδέ τι χειρότερον, π ᾶ ν δ' ἔμπλεόν ἐστιν ἐόντος. τῷ ξυνεχὲς π ᾶ ν ἐστιν ... ἐπεὶ π ᾶ ν ἐστιν ἄσυλον ... τόν σοι ἐγὼ διάκοσμον ἐοικότα π ά ν τ α φατίζω* Μέλισσος 2.8 *ὅ τι μὴ π ᾶ ν ἔστι* 7(1)-(2)-(4) *οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν καὶ ὅμοιον π ᾶ ν ... ὀλεῖται π ᾶ ν ἐν τῷ π α ν τ ὶ χρόνῳ ... οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν π ᾶ ν εἴη ἀλγέον* Ἐμπεδοκλῆς 3.9 *ἀλλ' ἄγ' ἄθρει π ά σ ῃ παλάμῃ* Ἀναξαγόρας 13 *καὶ ὅσον ἐκίνησεν ὁ νοῦς, π ᾶ ν τοῦτο διεκρίθη* Διογένης 6.18 *αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (*sc. *φλέβες) σχίζονται κατὰ τὴν πρόσφυσιν, καὶ διὰ π α ν τ ὸ ς τοῦ μηροῦ τείνουσιν* Δημόκριτος 159 *εἰ τοῦ σώματος αὐτῇ δίκην λαχόντος, παρὰ π ά ν τ α τὸν βίον ὧν ὠδύνηται ⟨καὶ⟩ κακῶς πέπονθεν, αὐτὸς γένοιτο τοῦ ἐγκλήματος δι⟨καστής⟩, ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς.* || **διὰ πασᾶν.** Φιλόλαος 6.21 *ἁ δὲ συλλαβὰ ἐπίτριτον, τὸ δὲ δι' ὀξειᾶν ἡμιόλιον, τὸ δ ι ὰ π α σ ᾶ ν δὲ διπλόον.*

**πάσχειν** (ἀντίθ. *πράσσειν*) **1.** Παθαίνω/ὑφίσταμαι, suffer/be affected, Μέλισσος 7(2) *εἰ γάρ τι τούτων π ά σ χ ο ι, οὐκ ἂν ἔτι ἓν εἴη* Δημόκριτος 278.7 *ὑπερδέδοικε, μέχρι σμικρὰ ᾖ, καὶ ἥν τι π ά θ ῃ, ἀνιᾶται* **2.** Πάσχω/ὑποφέρω, suffer, Δημόκριτος 191.10-21 *ἐννοούμενον ἃ π ά σ χ ο υ σ ι ... ἐνθυμεύμενον ἃ π ά σ χ ο υ σ ι ν.* || **πάσχειν εὖ** (ἀντίθ. *πάσχειν κακῶς*). Εὐεργετοῦμαι, be benefitted, Δημόκριτος 248 *ὁ νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· δύναται δέ, ὅταν αὐτοὶ βούλωνται π ά σ χ ε ι ν ε ὖ.* || **πάσχειν κακῶς** (ἀντίθ. *πάσχειν εὖ*) **1.** Κακοπαθαίνω, suffer hardship, Δημόκριτος 159 *ὧν ὠδύνηται ⟨καὶ⟩ κ α κ ῶ ς π έ π ο ν θ ε ν* **2.** Τιμωροῦμαι, be punished, Δημόκριτος 253 *κίνδυνος κ α κ ῶ ς ἀκούειν καὶ δὴ καὶ π α θ ε ῖ ν τι* 265 *τὸν δὲ μὴ ἀποδιδόντα κ α κ ῶ ς ἀκούειν καὶ π ά σ χ ε ι ν.* Πρβλ. *κακῶς ἀκούειν.*

**πατήρ** (συνών. *γενέτωρ*). Πατέρας, father, Ἐμπεδοκλῆς 137.1-5 *μορφὴν δ' ἀλλάξαντα π α τ ὴ ρ φίλον υἱὸν ἀείρας σφάζει ἐπευχόμενος μέγα νήπιος ... ὡς δ' αὔτως π α τ έ ρ' υἱὸς ἑλὼν καὶ μητέρα παῖδες θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδουσιν* Δημόκριτος 208 *π α τ ρ ὸ ς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.*